*δὲν παρὰ γνώμην αὐτοῦ διαπράττεσθαι. Ἅπαν γὰρ τὸ ἔξωθεν αὐτοῦ γινόμενον κλοπή τίς ἐστι καὶ ἱεροσυλία πρὸς θάνατον ἄγουσα, οὐ πρὸς ὠφέλειαν, κἂν δοκῇ σοι ἀγαθὸν εἶναι. Εἰ γὰρ ἀγαθόν, τίνος ἕνεκεν λάθρα, καὶ μὴ ἐν τῷ φανερῷ γίνεται; Ἐρώτησον τὸν λογισμόν σου τὸν λῃστεύειν σε διὰ τῶν δεξιῶν μηχανώμενον· διὰ γὰρ τῶν ἀγαθῶν δῆθεν παρακουσμάτων τὰς ἀριστεράς σοι πράξεις παρασκευάζει. Μὴ θέλε διορθοῦν ἐπασμοὺς τῶν θηριοδεικτῶν, ἄπειρος ὢν τοῦ ἐπᾴδειν, μήπως, ἐπισπασάμενος τοὺς ὄφεις καὶ περιδραχθεὶς ὑπ᾽ αὐτῶν, εἶτα ἀδυνάτως ἔχων πρὸς τὴν ἀντίστασιν, ἀσυγγνώστως ἀναλωθῇς ὑπ᾽ αὐτῶν. Μὴ ἐπερείδου εὐγενείᾳ σαρκός, καὶ τιμὴν ἐπιζήτει· «Σαρκικὸς γὰρ οὐ δέχεται τὰ τοῦ Πνεύματος». Μὴ πειρασθῇς τι τῶν ἐν συνηθείᾳ τῆς ἀληθείας παραχαράξαι καὶ τῇ οἰκείᾳ χαυνότητι ὑποσκελίζειν μὲν τοὺς ἀγωνιζομένους, ἑαυτῷ δὲ φόρτον ἁμαρτημάτων ἐπισωρεύειν, μὴ ἐν στρωμνῇ ἁπαλωτέρα, μὴ ἐν ἐνδύμασιν ἢ ὑποδήμασιν ἢ ἑτέρῳ τινὶ σχήματι ἢ ἐν βρωμάτων παραλλαγῇ ἢ τραπέζῃ ὑπὲρ τὸν τῆς ἀποταγῆς σου χρόνον ἢ ἐν στάσει ἢ ἐν καθέδρᾳ ἢ ἐν ἐργοχείρῳ ἀναπαυτικωτέρῳ ἢ καθαριωτέρῳ. Ταῦτα γὰρ πάντα οὐ μόνον ὑπάρχοντά σοι, ἀλλὰ καὶ ἐπιζητούμενα, οὐκ ἀγαθὴν ἕξουσιν ἔκβασιν. Καὶ γάρ, εἰ μὴν ἐν τάχει ἐπεγνωκὼς διαβολικὴν εἶναι τὴν μεθοδείαν ἐκκόψεις ἐκ τῆς σῆς καρδίας, ἔκπτωσίν σοι τῆς ἐν Χριστῷ πολιτείας κατασκευάζουσιν. Ἀλλὰ θέμενος ἐν σεαυτῷ πάντων ἀνθρώπων εἶναι ἀτιμότερον καὶ ἁμαρτωλότερον, ξένον τε καὶ ἀλήτην καὶ κατ᾽ οἶκτον παρειλημμένον ὑπὸ τῶν πρὸ σοῦ ἀποταξαμένων, σπεῦδε πάντων εἶναι ἔσχατος καὶ πάντων δοῦ-*

---

18. Εἰς τοὺς Ὅρους κατὰ πλάτος 14, ὁ μοναχὸς ποὺ ἀθετεῖ τὴν ὑπόσχεσίν του θεωρεῖται ἱερόσυλος.